## 176. TRIAL BEFORE THE JEWISH AUTHORITIES (Matt-Lk Identicals)

| Matt 26:57-76 | Luke 22:54-71 |
|---|---|
| Οἱ δὲ κρατήσαντες | Συλλαβόντες δὲ |
| τὸν Ἰησοῦν ἀπήγαγον | αὐτὸν ἤγαγον καὶ εἰσήγαγον |
| πρὸς Καϊάφαν τὸν ἀρχιερέα, | εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως· |
| ὅπου οἱ γραμματεῖς | |
| καὶ οἱ πρεσβύτεροι | |
| συνήχθησαν. | |
| 58 ὁ δὲ Πέτρος | ὁ δὲ Πέτρος |
| ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν | ἠκολούθει μακρόθεν. |
| | 55 περιαψάντων δὲ πῦρ |
| ἕως τῆς αὐλῆς | ἐν μέσῳ τῆς αὐλῆς |
| τοῦ ἀρχιερέως, | |
| | καὶ συγκαθισάντων |
| καὶ εἰσελθὼν ἔσω ἐκάθητο | ἐκάθητο ὁ Πέτρος |
| μετὰ τῶν ὑπηρετῶν | μέσος αὐτῶν |
| ἰδεῖν τὸ τέλος. | |
| 59 οἱ δὲ ἀρχιερεῖς | |
| καὶ τὸ συνέδριον ὅλον ἐζήτουν | |
| ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ | |
| ὅπως αὐτὸν θανατώσωσιν, | |
| 60 καὶ οὐχ εὗρον | |
| πολλῶν προσελθόντων | |
| ψευδομαρτύρων. | |
| ὕστερον δὲ προσελθόντες δύο | |
| 61 εἶπαν, | |
| Οὗτος ἔφη, | |
| Δύναμαι καταλῦσαι τὸν ναὸν | |
| τοῦ θεοῦ | |
| καὶ διὰ τριῶν ἡμερῶν | |
| οἰκοδομῆσαι. | |

*62 καὶ ἀναστὰς ὁ ἀρχιερεὺς*

*εἶπεν αὐτῷ,*
*Οὐδὲν ἀποκρίνῃ*
*τί οὗτοί σου καταμαρτυροῦσιν*
*63  ὁ δὲ Ἰησοῦς ἐσιώπα.*

*καὶ ὁ ἀρχιερεὺς*
*εἶπεν αὐτῷ,*
*Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ*
*τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς*
*εἰ σὺ εἶ ὁ Χριστὸς*
*ὁ υἱὸς τοῦ θεοῦ.*
*64 λέγει αὐτῷ ὁ Ἰησοῦς,*
*Σὺ εἶπας· πλὴν λέγω ὑμῖν,*
*ἀπ  ἄρτι ὄψεσθε*
*τὸν υἱὸν τοῦ ἀνθρώπου*
*καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως*
*καὶ ἐρχόμενον*
*ἐπὶ τῶν νεφελῶν*
*τοῦ οὐρανοῦ.*
*65 τότε ὁ ἀρχιερεὺς*
*διέρρηξεν τὰ ἱμάτια αὐτοῦ*
*λέγων, Ἐβλασφήμησεν·*
*τί ἔτι χρείαν ἔχομεν μαρτύρων*
*ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν·*
*66  τί ὑμῖν δοκεῖ*
*οἱ δὲ ἀποκριθέντες εἶπαν,*
*Ἔνοχος θανάτου ἐστίν.*
*67 Τότε*
*ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ*

*καὶ ἐκολάφισαν αὐτόν,*
*οἱ δὲ ἐράπισαν 68  λέγοντες,*
*Προφήτευσον ἡμῖν, Χριστέ,*
*τίς ἐστιν ὁ παίσας σε*

*69 Ὁ δὲ Πέτρος ἐκάθητο*

| | |
|---|---|
| ἔξω ἐν τῇ αὐλῇ· | |
| καὶ προσῆλθεν αὐτῷ μία | |
| παιδίσκη | |
| | 56 ἰδοῦσα δὲ αὐτὸν |
| | παιδίσκη τις |
| | καθήμενον πρὸς τὸ φῶς |
| λέγουσα, | καὶ ἀτενίσασα αὐτῷ εἶπεν, |
| Καὶ σὺ | Καὶ οὗτος |
| ἦσθα μετὰ Ἰησοῦ | σὺν αὐτῷ ἦν· |
| τοῦ Γαλιλαίου. | |
| 70 ὁ δὲ ἠρνήσατο | 57 ὁ δὲ ἠρνήσατο |
| ἔμπροσθεν πάντων λέγων, | λέγων, |
| Οὐκ οἶδα | Οὐκ οἶδα αὐτόν, γύναι. |
| τί λέγεις. | |
| 71 ἐξελθόντα δὲ εἰς τὸν πυλῶνα | 58 καὶ μετὰ βραχὺ |
| εἶδεν αὐτὸν ἄλλη | ἕτερος ἰδὼν αὐτὸν |
| καὶ λέγει | ἔφη, |
| τοῖς ἐκεῖ, | |
| Οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. | Καὶ σὺ ἐξ αὐτῶν εἶ· |
| 72 καὶ πάλιν ἠρνήσατο | ὁ δὲ Πέτρος ἔφη, ῎ |
| μετὰ ὅρκου | |
| ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον. | Ανθρωπε, οὐκ εἰμί. |
| 73 μετὰ μικρὸν δὲ προσελθόντες | 59 καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς |
| οἱ ἑστῶτες | ἄλλος τις διϊσχυρίζετο λέγων, |
| εἶπον τῷ Πέτρῳ, | |
| Ἀληθῶς καὶ σὺ | Ἐπ  ἀληθείας καὶ οὗτος |
| ἐξ αὐτῶν εἶ, | μετ  αὐτοῦ ἦν, |
| καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. | καὶ γὰρ Γαλιλαῖός ἐστιν· |
| 74 τότε ἤρξατο καταθεματίζειν | 60 εἶπεν δὲ ὁ Πέτρος, |
| καὶ ὀμνύειν ὅτι | |
| Οὐκ οἶδα τὸν ἄνθρωπον. | Ἄνθρωπε, οὐκ οἶδα |
| | ὃ λέγεις. |
| καὶ εὐθέως | καὶ παραχρῆμα |
| | ἔτι λαλοῦντος αὐτοῦ |
| ἀλέκτωρ ἐφώνησεν. | ἐφώνησεν ἀλέκτωρ. |
| | 61 καὶ στραφεὶς ὁ κύριος |
| | ἐνέβλεψεν τῷ Πέτρῳ, |
| 75 καὶ ἐμνήσθη ὁ Πέτρος | καὶ ὑπεμνήσθη ὁ Πέτρος |

| | |
|---|---|
| *τοῦ ῥήματος Ἰησοῦ* | *τοῦ ῥήματος τοῦ κυρίου* |
| *εἰρηκότος ὅτι* | *ὡς εἶπεν αὐτῷ ὅτι* |
| *Πρὶν ἀλέκτορα φωνῆσαι* | *Πρὶν ἀλέκτορα φωνῆσαι σήμερον* |
| *τρὶς ἀπαρνήσῃ με·* | *ἀπαρνήσῃ με τρίς·* |
| *καὶ ἐξελθὼν ἔξω* | *62 καὶ ἐξελθὼν ἔξω* |
| *ἔκλαυσεν πικρῶς.* | *ἔκλαυσεν πικρῶς.* |
| | *63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες αὐτὸν ἐνέπαιζον αὐτῷ δέροντες, 64 καὶ περικαλύψαντες αὐτὸν ἐπηρώτων λέγοντες, Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε* |
| | *65 καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.* |
| | *66 Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν,* |
| | *67 λέγοντες, Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὸν ἡμῖν. εἶπεν δὲ αὐτοῖς,* |
| | *Ἐὰν ὑμῖν εἴπω οὐ μὴ πιστεύσητε· 68 ἐὰν δὲ ἐρωτήσω οὐ μὴ ἀποκριθῆτε.* |
| | *69 ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ.* |
| | *70 εἶπαν δὲ πάντες, Σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ ὁ δὲ πρὸς αὐτοὺς ἔφη, Ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι.* |
| | *71 οἱ δὲ εἶπαν, Τί ἔτι ἔχομεν μαρτυρίας χρείαν αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.* |

578 total words with 88 identicals = 15%